Ῥάσπι ἐς αἰθέρα ἐπιποθῶν ἀναπέμψαι παρὰ τοῖς σοῖς λαμπροτάτοις ποσὶν ἐπιθαρρῶν καταρρίπτω· καὶ τοὺς πάλαι μιμούμενος ἀφοσιοῦν τι τοῖς θεοῖς εἰωθότας, χρυσοῦν μὲν τρίποδ' Ἀπόλλωνι, ἐλαίαν Παλλάδι, μῆλον δὲ Ἀφροδίτῃ, κἀγώ σοι ὡσαύτως, ἡμιθέᾳ τῶν βασιλίδων οὔσῃ τῶν τε ἡμιθεῶν βασιλίδι, δάφνην, ὡς εἰκός ἐστι, βασιλικὸν ἅμα καὶ θεῖον στέφος, ἀφοσιῶ. Τί γάρ; Αὐτὴ μὲν ἡ δάφνη, κἄν τε θάλλῃ ἀνθοῦσα καὶ χλοάζουσα ἐν τῇ λαμπρᾷ κορυφῇ τοῦ σοφωτάτου Ῥάσπι, ὅμως, ἡλιοτροπίου δίκην, πρὸς σὲ τρέπεται τὴν ἡλιοτόκον καὶ σελασφόρον ἠῶ, ἵνα, ταῖς σαῖς ῥοδοδακτύλοις παλάμαις ψηλαφηθεῖσα, ἅτε δὴ χρυσοῦς στέφανος ἀγλαοφανῶς ἀναλάμψῃ· πρὸς σέ, φημί, τὴν πηγαίαν καὶ λαμπρὰν τῶν χαρίτων αὐγήν, τὴν ἐξ ἑῴας ἡμῖν ἀνατεῖλασαν, καὶ τὰς κυανᾶς τὴν τετράκλιμον συνεχούσας τῆς ἀμαθείας σκιὰς δαιμονίως περιαυγάζουσαν. Οὗσπερ τῶν προτερημάτων ἀκτῖνες αἱ φεραυγεῖς οὑτωσί πως παρὰ πᾶσι στίλβουσι, τάς τε γλώσσας ἑκάστου πρὸς τοὺς σοὺς ἐφέλκουσιν ἐπαίνους, ὥστε ἄκραν εὐδαιμονίαν αὐτοῖς πάντας τὸ καὶ πόρρωθεν ἄκροις χείλεσιν αὐτῶν προσάψασθαι δυνηθῆναι· περιλαμφθεῖεν γὰρ τὰ χείλη τὰ ἁπτόμενά σου τῶν φώτων, ὦ δέσποινα. Καί γε σὺ αὐτὴ οὐκ ὀλίγων τιμῶν τε καὶ εὐφημιῶν ὕλη τυγχάνουσα, αὐτὴ σαυτῆς εἶ σάλπιγξ περίτρανος τὰ σὰ ἀναφανδὸν σαλπίζουσα μεγαλεῖα. Ἀρεταῖς τὴν εὐγένειαν, εὐγενείᾳ τὰς ἀρετὰς κατεκάλλυνας· τὴν πτωχὴν καὶ γυμνητεύουσαν φιλοσοφίαν τῇ περιβλέπτῳ τῶν σῶν ἀρετῶν πορφύρᾳ κατεκόσμησας, καὶ τὰς ὧδε κἀκεῖσε πλανωμένας ἀττικὰς Μούσας ἐν ταῖς λαμπραῖς σου αὐλαῖς συνήγαγες, μεθ' ὧν καὶ συμβασιλεύεις ἐνδόξως ἐν τῇ βασιλευούσῃ Κωνσταντίνου. Ἐὰν δέ ποτε Σαβὰ ἡ βασίλισσα πρὸς Σολομῶντα ἐπεφοιτήκει σοφίας χάριν, τανῦν πρὸς σέ, τὴν ἀρχηγὸν τῆς σοφίας, οἱ Σολομῶντες πάντες προσέρχονταί τι μαθησόμενοι καὶ διδαχθησόμενοι. Καὶ γὰρ σοῦ μὲν ἀπὸ στόματος λόγων πηγαὶ ἀναβλύζουσιν, ἀνθεῖ τε ἐν αὐτῷ ὅλον τῆς εὐγλωττίας τὸ ἔαρ. Γῆς μὲν κόσμος Ἑλλάς, Ἑλλάδος σοφία, σοφίας δὲ σὺ ὑπάρχεις κλέος, Ῥωξάννα, ἀνθρώπων Πειθώ, ἱερὸν Τριτογενείας στόμα. Εἰ δέ σοι δοκοίην θάρσους γέμων καὶ τόλμης, γλώττῃ ἀδιαρθρώτῳ καὶ σαθρᾷ τῶν λαμπρῶν ἀρετῶν ἐπιτροχάδην καθαπτόμενος, σύγγνωθι, ὦ γενναιοτάτη δέσποινα. Συνελάλησε γάρ ποτε βάτραχος τῷ Διΐ, τῇ Ἀθηνᾷ κορώνη καὶ κόραξ τῷ Ἀπόλλωνι.